# Ζωροαστρείων τε καὶ Πλατωνικῶν δογμάτων συγκεφαλαίωσις· τοῦ Πληθῶνος.

Est in Biblioth. Caes. teste Lambec. L. VII. p. 164. seq. 175. 172. seq. it. in Biblioth. Reg. Gallic, teste Labbeo, p. 85. Saltem ineditum. vid. & in fronte varr. lect. ad Niceph. Greg. Schol. in Synes. de Insomn.

περὶ θεῶν κεφ. α'.

Ἐκεῖνα μάλιστ' ἂν δέοι κεφάλαια εἰδέναι, τόν γε δὴ φρόνιμον ἐσόμενον. πρῶτον μὲν ἐκεῖνο περὶ θεῶν, ὡς εἰσίν. εἷς μὲν αὐτῶν Ζεὺς ὁ βασιλεύς. μέγιστός τε καὶ ὅσον γε ἐνῆν ἄριστος, τοῖς ὅλοις τοῖσδε ἐφεστηκώς. καὶ θεότητι ἐξαίρετος. αὐτὸς μὲν πάντῃ τε ὢν καὶ πάντως ἀγένητος. τῶν δ' ἄλλων ἁπάντων πατήρ τε καὶ δημιουργὸς πρεσβύτατος. τούτου δὲ παῖς μὲν πρεσβύτατος, ἀμήτωρ γε δεύτερος δὲ θεὸς Ποσειδῶν. τά τε δευτερεῖα τῆς κατὰ πάντων ἡγεμονίας πρὸς τοῦ πατρὸς ἐπιτετραμμένος. καὶ ἔτι τὴν τοῦδε τοῦ οὐρανοῦ γένεσίν τε καὶ δημιουργίαν. θεοῖς καὶ ἑτέροις χρώμενος ὑπάρχοις. τοῖς μὲν ἀδελφοῖς ἀμήτορσι πᾶσιν ὑπερουρανίοις. ὀλυμπίοις τε δὴ καὶ ταρταρείοις. τοὺς δὲ καὶ αὐτὸς ἐξ Ἥρας ἤδη, θεοῦ τῆς γε ὕλης παραγωγοῦ, γεννῶν τοὺς ἐντὸς οὐρανοῦ τοῦδε, τό τε δὴ οὐράνιον γένος ἄστρων, καὶ τὸ τῇ ἡμετέρᾳ ἤδη φύσει προσεχὲς δαιμόνων γένος χθόνιον. ὃς καὶ Ἡλίῳ παίδων τῶν ἑαυτοῦ τῷ πρεσβυτάτῳ, ἡγεμονίαν τε τὴν τοῦδε τοῦ οὐρανοῦ ἐπιτέτραφε, καὶ ἔτι γένεσιν τὴν τῶν ἐν αὐτῷ θνητῶν. ταύτην μέντοι καὶ σὺν Κρόνῳ θεῶν τῶν γε ταρταρείων Τιτάνων τε ἡγεμόνι. πρεσβύτατον μὲν οὖν τοῦτο, ὅτῳ τε καὶ ταύτῃ μάλιστα ἀκριβούμενον νομίζειν.

γρ. παραγωγοῦ

ἔπειθ' ὡς καὶ τῶν ἡμετέρων προνοοῦσιν οὗτοι οἱ θεοὶ οἱ μὲν αὐτῶν προσεχῶς ἐφαπτόμενοι. οἱ δὲ διὰ τῶν σφῶν ὑποδεεστέρων. ἅπαντες δὲ κατὰ θεσμοὺς τοὺς τοῦ Διὸς ἅπαντα κατευθύνοντες. ἔπειθ' ὡς τῶν μὲν κακῶν οὐδενός, οὔτ' ἄλλῳ οὐδενὶ τῶν πάντων οὔθ' ἡμῖν, τῶν δ' ἀγαθῶν, αὐτοί εἰσιν οἱ αἰτιώτατοι. ἐπὶ δὲ τούτοις, ὡς καὶ εἱμαρμένῃ ἀμεταστρόφῳ καὶ ἀπαραιτήτῳ ἐκ Διὸς χωροῦσι,

κεφ. β'. γρ. νομίζειν sc. δεῖ. γρ. ἔτι οἱ δὲ ἐξ αὐτῶν. γρ. ὑποδεεστέρων.

κεφ. γ'.

κεφ. δ'.

scil. ὁδῷ.